δὲ αὐτοῖς τούτου, καλέσαντες ὅ τε Κριτίας καὶ ὁ Χαρικλῆς τὸν Σωκράτην, τόν τε νόμον ἐδεικνύτην αὐτῷ καὶ τοῖς νέοις ἀπειπέτην μὴ διαλέγεσθαι. Ὁ δὲ Σωκράτης ἐπήρετο αὐτώ, εἰ ἐξείη πυνθάνεσθαι, εἴ τι ἀγνοοῖτο τῶν προηγορευμένων. Τὼ δ' ἐφάτην. Ἐγὼ 34
τοίνυν, ἔφη, παρεσκεύασμαι μὲν πείθεσθαι τοῖς νόμοις· ὅπως δὲ μὴ δι' ἄγνοιαν λάθω τι παρανομήσας, τοῦτο βούλομαι σαφῶς μαθεῖν παρ' ὑμῶν, πότερον τὴν τῶν λόγων τέχνην σὺν τοῖς ὀρθῶς λεγομένοις εἶναι νομίζοντες, ἢ σὺν τοῖς μὴ ὀρθῶς, ἀπέχεσθαι κελεύετε αὐτῆς. Εἰ μὲν γὰρ σὺν τοῖς ὀρθῶς, δῆλον ὅτι ἀφεκτέον εἴη τοῦ ὀρθῶς λέγειν· εἰ δὲ σὺν τοῖς μὴ ὀρθῶς, δῆλον ὅτι πειρατέον ὀρθῶς λέγειν. Καὶ 35
ὁ Χαρικλῆς ὀργισθεὶς αὐτῷ, ἐπειδή, ἔφη, ὦ Σώκρατες, ἀγνοεῖς, τάδε σοι εὐμαθέστερα ὄντα προαγορεύομεν, τοῖς νέοις ὅλως μὴ διαλέγεσθαι. Καὶ ὁ Σωκράτης, Ἵνα τοίνυν, ἔφη, μὴ ἀμφίβολον ᾖ, ὡς ἄλλο τι ποιῶ ἢ τὰ προηγορευμένα, ὁρίσατέ μοι μέχρι πόσων ἐτῶν δεῖ νομίζειν νέους εἶναι τοὺς ἀνθρώπους. Καὶ ὁ Χαρικλῆς, Ὅσου περ, εἶπε, χρόνου βουλεύειν οὐκ ἔξεστιν, ὡς οὔπω φρονίμοις οὖσι· μηδὲ σὺ διαλέγου νεωτέροις τριάκοντα ἐτῶν. Μηδέ, ἄν τι ὠνῶμαι, ἔφη, 36
ἢν πωλῇ νεώτερος τριάκοντα ἐτῶν, ἔρωμαι ὁπόσου πω-



§. 33. προηγορευμένων] Sic edere coepit Stephanus. Sed in edd. vett. et Parif. est προαγορευομένων.

δ' ἐφάτην] Sic cum viro docto in Obf. Mifc. Belg. T. III, p. 430 correximus vulgatum τὼ δὲ φάτην. Xenophon non folet omittere augmenta. Sed fic est etiam in MS. Vindob. 1. *Ern.* atque dudum fic editum exstat in ed. Parifina.

§. 34. τοίνυν, ἔφη] Vltimam vocem omifit Parif. 1.

εἶναι] Excidit in Iunt. Caeterum, ni fallor, fenfus est: *Vtrum ab arte dicendi abftinere iubeatis propterea, quod ea recte dicendi praecepta tradere, an quod ad male dicendum perducere vobis videatur?*

§. 35. ἐπειδὴ] Vulgatum ἐπειδὰν, ἐπειδὴ cum Porto et Leoncl. corr. Cl. Reifk. Sic et IV, 3, 4. 6: in quo capite varie est, ἐπειδὰν, ἐπειδὴ, et ἐπεὶ in vulgatis (v. not.), item alibi. Sed hic MS. 1 habet ἐπεὶ ταῦτ' ἀγν. [non male *Z.*] MS. Vindob. ἐπειδή, quod recepi. *Ern.* Recte. Nam ἐπειδὰν nec de caufa dicitur, nec indicatiuo iungi poteft.

ὡς ἄλλο τι] H. e. *adeo vt quid committam, quod fit vetitum.*

τριάκοντα ἐτῶν] *Triginta* igitur *annos* natus effe debebat, qui fenatorio munere fungi vellet, vt ex h. l. clarum est. *Hindeb.*

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/53 gefördert von der Deutschen Forschungsgemeinschaft